ἔσται εἴδει μία ἡ περὶ ἕκαστον ἀρχή, ἀριθμῷ δέ γε πολλαί. ἀλλ' ὅσα ἀριθμῷ πολλά, ὕλην ἔχει. εἷς γὰρ λόγος καὶ ὁ αὐτὸς πολλῶν, οἷον ἀνθρώπου, Σωκράτης δὲ εἷς. τὸ δὲ τί ἦν εἶναι, οὐκ ἔχει ὕλην τὸ πρῶτον· ἐντελέχεια γάρ. ἓν μὲν ἄρα καὶ λόγῳ καὶ ἀριθμῷ, τὸ πρῶτον κινοῦν ἀκίνητον ὄν· καὶ τὸ κινούμενον ἄρα ἀεὶ καὶ συνεχῶς ἓν μόνον. εἷς ἄρα οὐρανὸς μόνος. παραδέδοται δὲ ὑπὸ τῶν ἀρχαίων καὶ παλαιῶν, ἐν μύθου σχήματι καταλελειμμένα τοῖς ὕστερον, ὅτι θεοί τέ εἰσιν οὗτοι, καὶ περιέχει τὸ θεῖον τὴν ὅλην φύσιν. τὰ δὲ λοιπὰ μυθικῶς ἤδη προσήχθη πρὸς τὴν πειθὼ τῶν πολλῶν, καὶ πρὸς τὴν εἰς τοὺς νόμους καὶ τὸ συμφέρον χρῆσιν. ἀνθρωποειδεῖς τε γὰρ τούτους, καὶ τῶν ἄλλων ζῴων ὁμοίους τισὶ λέγουσι, καὶ τούτοις ἕτερα ἀκόλουθα καὶ παραπλήσια τοῖς εἰρημένοις· ὧν εἴ τις χωρίσας αὐτὸ λάβοι μόνον τὸ πρῶτον, ὅτι θεοὺς ᾤοντο τὰς πρώτας οὐσίας εἶναι, θείως ἂν εἰρῆσθαι νομίσειε, καὶ κατὰ τὸ εἰκὸς πολλάκις εὑρημένης εἰς τὸ δυνατὸν ἑκάστης καὶ τέχνης καὶ φιλοσοφίας, καὶ πάλιν φθειρομένων, καὶ ταύτας τὰς δόξας ἐκείνων, οἷον λείψανα περισεσῶσθαι μέχρι τοῦ νῦν. ἡ μὲν οὖν πάτριος δόξα, καὶ ἡ παρὰ τῶν πρώτων, ἐπὶ τοσοῦτον ἡμῖν φανερὰ μόνον.

Κεφάλαιον θ.

Τὰ δὲ περὶ τὸν νοῦν ἔχει τινὰς ἀπορίας. δοκεῖ μὲν γὰρ εἶναι τῶν φαινομένων θειότατον. πῶς δ' ἔχων, τοιοῦτος ἂν εἴη, ἔχει τινὰς δυσκολίας. εἴτε γὰρ μηδὲν νοεῖ, τί ἂν εἴη τὸ σεμνόν· ἀλλ' ἔχει ὥσπερ ἂν εἴη ὁ καθεύδων· εἴτε νοεῖ, τούτου δ' ἄλλο κύριον (οὐ γάρ ἐστι τοῦτο, ὅ ἐστιν αὐτοῦ ἡ οὐσία, νόησις, ἀλλὰ δύναμις) οὐκ ἂν ἡ ἀρίστη οὐσία εἴη. διὰ γὰρ τοῦ νοεῖν, τὸ τίμιον αὐτῷ ὑπάρχει. ἔτι δὲ εἴτε νοῦς ἡ οὐσία αὐτοῦ, εἴτε νόησίς ἐστι, τί νοεῖ; ἢ γὰρ αὐτὸς αὑτόν, ἢ ἕτερόν τι. καὶ εἰ ἕτερόν τι, ἢ τὸ αὐτὸ ἀεί, ἢ ἄλλο. πότερον οὖν διαφέρει τι, ἢ οὐδέν, τὸ νοεῖν τὸ καλόν, ἢ τὸ τυχόν; ἢ καὶ ἄτοπον τὸ διανοεῖσθαι περὶ ἐνίων; δῆλον τοίνυν, ὅτι τὸ θειότατον καὶ τιμιώτατον νοεῖ, καὶ οὐ μεταβάλλει. εἰς χεῖρον γὰρ ἡ μεταβολή, καὶ κίνησίς τις ἤδη τὸ τοιοῦτον. πρῶτον μὲν οὖν εἰ μὴ νόησίς ἐστιν ἀλλὰ δύναμις, εὔλογον ἐπίπονον εἶναι τὸ συνεχὲς αὐτῷ τῆς νοήσεως.

A principium vniuscuiusque erit specie vnum, numero multa. At quæcunque multa numero, materiam habent: vna etenim & eadem multorum ratio est, veluti hominis. Socrates verò, vnus. Ipsum verò quid erat esse primum, non habet materiam, cùm actus sit. Vnum ergo tum ratione, tum numero, primum mouens immobile ens est: id etiam igitur, quod semper, continuóque mouetur: vnum ergo tantum cælum est. Tradita autem sunt quæ-
B dam à maioribus nostris, & admodũ antiquis, ac in fabulæ figura posterioribus relicta, quòd hi dij sint, vniuersámque naturam diuinum contineat. Cætera vero fabulosè ad multitudinis persuasionem, & ad legum, ac eius, quod conferat opportunitatem, iam illata sunt. Hominiformes nanque, ac aliorum animalium nonnullis similes eos dicunt, ac alia con-
C sequentia, & similia iis, quæ dicta sunt: quorum si quis ipsum solum primum separando accipiat, quod deos arbitrabantur primas substantias esse, diuinè profecto dictum putabit, & (vt verisimile est) sæpius quaque arte, & philosophia, quoad possibile fuit, inuenta, corruptáque rursus, has illorum opiniones quasi quasdam reliquas, nunc vsque saluatas esse. Paterna itaque, ac priorum opinio, in tan-
D tum nobis manifesta sit.

CAPVT IX.

Ea vero, quæ circa mentem sunt, quasdam dubitationes habent. Videtur enim eorum, quæ apparent, quid diuinissimum esse. Quo vero modo se habens talis erit, difficultates quasdam habet. Siue enim nihil intelligat, sed ita se habeat, vt dormiens, quidnam præcellens erit? Siue
E intelligat, huius vero aliud sit principale (non enim id, quod est eius substantia, intellectio erit, sed potentia) profecto non erit optima substantia. Siquidem eo quod intelligit, ei honorabilitas inest. Præterea, siue mens, siue intellectio eius substantia sit, quid intelligit? Aut enim ipsa se ipsam, aut aliquid aliud. Quod si aliud, aut idem semper, aut aliud. Vtrum autem differt aliquid, an nihil intelligere bonum,
F vel quodcunque? An vero de quibusdam ipsam etiam & cogitare absurdum est? Manifestum itaque est, quod illud quod intelligit diuinissimũ, honorabilissimúmq. est, neque mutatur: in deterius nanq. mutatio fieret, ac motus, quod huiusmodi iam esset. Primo igitur si non est intellectio, sed potentia, rationabile est, laboriosam ei continuationem intelligendi esse: